30 Ιουνίου 2013

Σύναξη των Αγίων Δώδεκα Αποστόλων

Ορθοδοξία και Ορθοπραξία / Συναξαριακές Μορφές



Ο Χριστός εν δόξη και οι δώδεκα Απόστολοι – άγνωστος ζωγράφος από την Κωνσταντινούπολη, μέσα 14ου αιώνα μ.Χ.

Εορτάζει στις 30 Ιουνίου εκάστου έτους.

Βιογραφία

Οι Απόστολοι του Χρίστου θα ξεχωρίζουν μέσα στην Ιστορία της Εκκλησίας, σαν οι υπέρλαμπροι αστέρες πρώτου μεγέθους της πνευματικής ζωής. Την 30η Ιουνίου, η Εκκλησία γιορτάζει τους δώδεκα Αποστόλους που αρχικά εξέλεξε ο Κύριος, πλην του Ιούδα Ισκαριώτη. Αυτοί είναι: Σίμωνας (Πέτρος), Ανδρέας, Ιάκωβος, Ιωάννης, Φίλιππος, Θωμάς, Βαρθολομαίος (Ναθαναήλ), Ματθαίος, Ιάκωβος του Αλφαίου, Σίμωνας ο Ζηλωτής, Ιούδας ο αδελφός του Ιακώβου του μικρού και ο Ματθίας, που εξελέγη μέσα στο υπερώο τις παραμονές της Πεντηκοστής, σε αντικατάσταση του Ιούδα του Ισκαριώτη. Τη ζωή του καθενός των Αποστόλων αυτών, σκιαγραφούμε στις ιδιαίτερες γιορτές τους. Εδώ γίνεται υπενθύμιση της ενότητας που είχαν μεταξύ τους, αλλά και της ηθικής τους, που τόσο συνέβαλε στην πνευματική εν Χριστώ αναγέννηση του κόσμου. Έχουμε, λοιπόν, χρέος και εμείς οι αγωνιζόμενοι χριστιανοί, να κινούμαστε στα ίχνη τους και με θερμό ζήλο για τη διάδοση του σωτηριώδους μηνύματος του Ευαγγελίου, που διέπνεε κι αυτούς, να γίνουμε μιμητές του έργου τους.

Ἀπολυτίκιον (Κατέβασμα)

Ἦχος γ΄.

Ἀπόστολοι Ἅγιοι, πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ , ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Ἕτερον Ἀπολυτίκιον

Ἦχος δ’.

Οἱ τῶν Ἀποστόλων πρωτόθρονοι, καὶ τῆς Οἰκουμένης διδάσκαλοι, τῷ Δεσπότῃ τῶν ὅλων πρεσβεύσατε, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἕτερον Ἀπολυτίκιον (Κατέβασμα)

Ἦχος γ’. Τὴν ὡραιότητα.

Ὡς δωδεκάπυρσος, λυχνία ἔλαμψαν, οἱ Δωδεκάριθμοι, Χριστοῦ Ἀπόστολοι, Πέτρος καὶ Παῦλος σὺν Λουκᾶ, Ἀνδρέας καὶ Ἰωάννης, Βαρθολομαῖος Φίλιππος, σὺν Ματθαίω καὶ Σίμωνι, Μᾶρκος καὶ Ἰάκωβος, καὶ Θωμὰς ὁ μακάριος, καὶ ηὔγασαν τοὺς πίστει βοώντας χαίρετε Λόγου οἱ αὐτόπται.

Κοντάκιον

Ἦχος β’. Τοὺς ἀσφαλεῖς.

Τοὺς ἀσφαλεῖς καὶ θεοφθόγγους κήρυκας, τὴν κορυφὴν τῶν Μαθητῶν σου Κύριε, προσελάβου εἰς ἀπόλαυσιν, τῶν ἀγαθῶν σου καὶ ἀνάπαυσιν, τοὺς πόνους γὰρ ἐκείνων καὶ τὸν θάνατον, ἐδέξω ὑπὲρ πᾶσαν ὁλοκάρπωσιν, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Κάθισμα

Ἦχος δ’. Ὁ ὑψωθεὶς.

Κατοικισθέντες ἐν φωτὶ ἀπροσίτῳ, ὡς οἰκητήρια φωτὸς πεφυκότες, οἶκον ὑμῶν τὸν ἅγιον φωτίζετε ἀεί, θείαις προσφοιτήσεσιν· ὅθεν πίστει βοῶμεν· Σκότους ἡμᾶς ῥύσασθε, καὶ παντοίων κινδύνων, καὶ χαλεπῶν ἐθνῶν ἐπιδρομῆς, ἐκδυσωποῦντες τὸν Κτίστην Ἀπόστολοι.

Ὁ Οἶκος

Τράνωσόν μου τὴν γλῶτταν Σωτήρ μου, πλάτυνόν μου τὸ στόμα, καὶ πληρώσας αὐτό, κατάνυξον τὴν καρδίαν μου, ἵνα οἷς λέγω ἀκολουθήσω, καὶ ἃ διδάσκω, ποιήσω πρῶτος· πᾶς γὰρ ποιῶν καὶ διδάσκων, φησίν, οὗτος μέγας ἐστίν· ἐὰν γὰρ λέγω, καὶ μὴ πράττω, ὡς χαλκὸς ἠχῶν λογισθήσομαι. Διὸ λαλεῖν μοι τὰ δέοντα, καὶ ποιεῖν τὰ συμφέροντα δώρησαι, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Μεγαλυνάριον

Πέτρον Παῦλον Μᾶρκον σὺν τῷ Λουκᾶ, Φίλιππον, Ἀνδρέαν, Ἰωάννην τε καὶ Θωμᾶν, Σίμωνα Ματθαῖον, καὶ τὸν Βαρθολομαῖον, σὺν θείῳ Ἰακώβῳ ὕμνοις τιμήσωμεν.

Τιμῶ θεόπτας δώδεκα Χριστοῦ φίλους,

Ἥρωας ἄνδρας καὶ θεοὺς τολμῶ λέγειν.


Δώδεκα εὐκλεέας τριακοστῇ ἀγείρει μύστας.



Οι Άγιοι Δώδεκα Απόστολοι – Χρωστήρας© (xrostiras.blogspot.com)



Οι Άγιοι Δώδεκα Απόστολοι


ΠΟΡΕΥΘΕΝΤΕΣ
ΜΑΘΗΤΕΥΣΑΤΕ
ΠΑΝΤΑ ΤΑ ΕΘΝΗ



Οι Άγιοι Δώδεκα Απόστολοι



Οι Άγιοι Δώδεκα Απόστολοι



Οι Ἅγιοι Δώδεκα Απόστολοι

Πηγή:saint.gr